# ΑΚΟΛΟΥΘΙΑ
## ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ
# ΘΕΟΔΩΡΑΣ
## ΤΗΣ ΒΑΣΙΛΙΣΣΗΣ

ΨΑΛΛΟΜΕΝΗ ΤΗ ΙΑ'. ΤΟΥ ΜΑΡΤΙΟΥ ΜΗΝΟΣ

Συντεθεῖσα μὲν παρὰ

**ΙΩΒ ΜΟΝΑΧΟΥ ΤΟΥ ΜΕΛΟΥ**

Τύποις δὲ νῦν πρῶτον ἐκδοθεῖσα παρὰ

**ΠΑΝΟΥ ΤΟΥ ΣΕΚΛΗΣΤΙΝΟΥ,**

Δι᾽ ἰδίας αὐτοῦ δαπάνης,

Ἐπιστασίᾳ τε καὶ ἐπιδιορθώσει τοῦ Λογιωτάτου ἐν Ἱεροδιακόνοις

**ΙΑΚΩΒΟΥ ΤΟΥ ΙΕΡΑΛΕΞΑΝΔΡΙΔΟΥ**

Τοῦ ἐκ τῆς Ἐπαρχίας τῆς Δημητριάδος,
ἐκ κώμης Ἀγυιᾶς.

αψοβ'. ΕΝΕΤΙΗΣΙΝ, 1772.

Παρὰ Δημητρίῳ Θεοδοσίου τῷ ἐξ Ἰωαννίνων.

CON LICENZA DE' SUPERIORI.

*77. Τὸ ἐξώφυλλο τῆς πρώτης ἔκδοσης τῆς Ἀκολουθίας τῆς Ἁγίας Θεοδώρας. Βενετία 1772.*



# ΑΚΟΛΟΥΘΙΑ

# ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΘΕΟΔΩΡΑΣ ΤΗΣ ΒΑΣΙΛΙΣΣΗΣ ΑΡΤΗΣ

*Ψαλλομένη τὴν 11ην Μαρτίου.*

*(Συνταχθεῖσα παρ' ΙΩΒ μοναχοῦ τοῦ ΜΕΛΟΥ, μετὰ προσθήκης Ἰδιομέλων εἰς τὴν λιτὴν καὶ τριῶν ἀπολυτικίων συνταχθέντων ὑπὸ τοῦ Ἄρτης καὶ Πρεβέζης Μητροπολίτου ΣΕΡΑΦΕΙΜ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ)*

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Στιχηρὰ Προσόμοια.**
**Ἦχος δ'. Ποίοις εὐφημιῶν ἄσμασιν.**

Ποίοις πνευματικοῖς στέμμασι καταστέψωμεν τὴν βασιλίδα, τὴν βασιλικῶς διαπρέψασαν καὶ θεοπρεπῶς ἐξασκήσασαν καὶ Θεοῦ τῆς δόξης μετασχοῦσαν· τὸ κλέος τῶν βασιλίδων καὶ

καλλώπισμα· τὸ σθένος μοναζουσῶν τὸ περιβόητον καὶ τῶν ἰαμάτων τὴν βρύσιν τὴν θερμὴν ἀντίληψιν τὴν τῶν πιστῶν προσφυγὴν δι᾽ ἧς ὁ Σωτὴρ ἡμῶν δωρεῖται ἡμῖν τὸ ἔλεος.

Ποίοις ᾀσματικοῖς ἔπεσιν ἐπαινέσωμεν τὴν βασιλίδα τὴν τῶν γεηρῶν τὰ οὐράνια καὶ τῶν ἐπικήρων τὰ μόνιμα ἀνταλλαξαμένην θεοφρόνως· τὴν δόξαν τὴν φθειρομένην καταλείψασαν καὶ δόξης ἀδιαδόχου ἀπολαύουσαν τὴν οὐρανοῖς ἐνοικοῦσαν καὶ θαυμάτων φέγγει καταυγάζουσαν τοῖς ἐν γῇ, δι᾽ ἧς καταπέμπει θεόθεν ἡμῖν τὸ ἔλεος.

Ποίοις ἀσκητικοῖς ἄνθεσιν, ὡραΐσωμεν τὴν βασιλίδα τὴν ἐν προσευχαῖς ἀπαράμιλλον καὶ ἐν ἀγρυπνίαις ἀσύγκριτον, ἀρετῶν πασῶν τὴν κορωνίδα· τὸ θεῖον τοῦ παρακλήτου καταγώγιον· τὸ πάντων τῶν ἀσθενούντων ἰατήριον· τυφλῶν τὴν φωταγωγίαν· πονηρῶν πνευμάτων τὴν διώκτριαν, δι᾽ ἧς ὁ φιλάνθρωπος τοῖς πᾶσιν νέμει τὸ ἔλεος.

**Δόξα. Ἦχος πλ. δ΄.**

Ἐκ δεξιῶν τοῦ Σωτῆρος παρέστης μετὰ δόξης, ὡς βασιλὶς στεφηφόρος· περιβεβλημένη θείαν στολὴν τῆς ἀσκήσεως καὶ πεποικιλμένη τῶν ἀρετῶν τῷ κύκλῳ καὶ ταῖς χάρισι τῶν ἰάσεων καὶ βοῶσα πρὸς αὐτὸν ἐν ἀγαλλιάσει τὸν σταυρόν σου κατέχουσα· ὡς ὀσμὴν ἄχραντον δέξαι μου τοῖς πόνοις Χριστέ· κατετρώθην ὑπὸ τοῦ πόθου σου βασιλεῦ, μὴ χωρήσῃς με τῆς θείας Βασιλείας σου. Διὸ ταῖς σαῖς πρεσβείαις κατάπεμψον ἡμῖν οὐρανόθεν ἱλασμόν, Θεοδώρα πάνσεμνε.

**Καὶ νῦν.**

Θεοτόκε σὺ εἶ ἄμπελος ἡ ἀληθινὴ ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν πρέσβευε Δέσποινα μετὰ τῆς βασιλίδος ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἀπόστιχα.**
**Εἰς τὸν στίχον. Ἦχος δ΄. Οἶκος τοῦ Εὐφραθά.**

Ἰδε φωτοφανὴς ἀνέτειλε ἡμέρα φαιδρύνουσα τὴν κτίσιν, θαυμάτων ταῖς ἀκτῖσι, τῆς βασιλίδος σήμερον.

*στίχ.* ***Ὑπομένων ὑπέμεινα τὸν Κύριον.***

Ὡς ὄμβρον ἀερμὼν ὡς δρόσον ἐπὶ χόρτον τὴν χάριν ὑετίζει· ἡ κόνις Θεοδώρα, οἱ κάμνοντες ἀρύσασθαι.

*στίχ.* ***Καὶ ἀνήγαγέ με ἐκ λάκκου.***

Βολίδας ἡ σορὸς ἐκπέμπουσα θαυμάτων τῆς βασιλίδος, παύει τῶν ἀσθενῶν ὀδύνας ζόφον παθῶν διώκουσα.

**Δόξα. Καὶ νῦν. Θεοτοκίον.**

Ὑμνοῦμεν εὐσεβῶς τὸν τόκον σου Παρθένε δι᾽ οὗ λυθὲν τὸ σκότος, πρὸς φῶς τῆς ἀληθείας ἑλκύσθημεν Θεόνυμφε.

**Ἀπολυτίκια.**
**Τὰ τοῦ Μεγάλου Ἑσπερινοῦ.**



(**Σημ.:** Τὰ στιχηρὰ τοῦ μικροῦ Ἑσπερινοῦ στὸ χειρόγραφο εἶναι τὰ στιχηρὰ τοῦ μεγάλου τώρα ἑσπερινοῦ καὶ ἀντίστροφα).




78. Ἡ ἁγία Θεοδώρα. Νεότερη τοιχογραφία στόν Μητροπολιτικό ναό τοῦ Ἁγίου Δημητρίου Ἄρτας. (Νίκος Κακαδιάρης).

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν πρῶτον τοῦ Τριῳδίου. Εἶτα τῆς Ἁγίας. Στιχηρὰ προσόμοια.**

**Ἦχος δ'. Ἔδωκας σημείωσιν.**

Ἔλαμψεν ὡς ἥλιος, τὸ ἱερόν σου μνημόσυνον, Θεοδώρα ἀείμνηστε, θαυμάτων ταῖς λάμψεσι, πάντων καταυγάζον πιστῶν τὰς καρδίας, καὶ παθημάτων τὴν ἀχλὺν διασκεδάζων, σθένει τοῦ Πνεύματος· διὸ καὶ συνελθόντες σε χρεωστικῶς μακαρίζομεν, καὶ τὴν θείαν σου κοίμησιν ἱερῶς ἑορτάζομεν.

Ὅλην σου τὴν ἔφεσιν, πρὸς τὸν Θεὸν ἀνατείνασα, ὁλοτρόπως ἐπόθησας, ἐκ βρέφους ἀοίδιμε τῷ ῥευστῷ τῆς δόξης, τ' ἄρευστα κερδῆσαι, ὥσπερ τις ἔμπορος καλός, ἀλλαξαμένη τῆς γῆς τὰ οὐράνια· διὸ καὶ δόξαν ἄληστον, καὶ βασιλείαν ἀσάλευτον, ὁ Χριστὸς σοι δεδώρηται, Βασιλὶς ἀξιάγαστε.

Κόσμον τὸν βασίλειον εὐσεβοφρόνως κοσμήσασα, μοναζόντων ἐν σχήματι, νηστείαις καὶ δάκρυσι, καὶ ταῖς ἐναρέτοις πράξεσιν, Ὁσία, τοῦτον ὡραΐσας σαφῶς, καὶ τιμιώτατον ὄντως ἔδειξας· διὸ καὶ ὡς βασίλισσα, καὶ τῶν ὁσίων ὁμόσκηνος τῷ Κυρίῳ παρίστασαι Θεοδώρα ἀοίδιμε.

Πρόκειται τοῖς χρήζουσιν, ὡς ποταμὸς πελαγίζουσα, τῶν θαυμάτων τὰ ῥεύματα, σωρὸς ἡ τιμία σου βασιλὶς Ἁγία, πάθη καὶ τὰς νόσους ἐξιωμένη τῶν πιστῶν, καὶ τῶν δαιμόνων πλήθη βυθίζουσα· διὸ καὶ τῶν λειψάνων σου τὴν θείαν κόνιν κατέχοντες, ὡς πηγὴν ἁγιάσματος εὐσεβῶς σε γεραίρομεν.

### Δόξα. Ἦχος πλ. δ΄. Ἱεραρχῶν τὴν καλλονήν.

Τὴν Βασιλίδων καλλονήν, μοναστριῶν τὸ κλέος, τὴν βρύσιν τῶν θαυμάτων, καὶ ἀσθενῶν ἰατρεῖον τὸ ἄμισθον, συνελθόντες, ὦ φιλέορτοι, πνευματικαῖς εὐφημίαις, τιμήσωμεν λέγοντες, χαίροις Ἀκαρνανίας εὖχος, τὸ μέγα καὶ σεπτόν, καὶ πλοῦτος ἀδαπάνητος· χαίροις λαμπὰς ἡ ἀείφωτος, Αἰτωλίαν ἅπασαν καταυγάζουσα θαύμασι· χαίροις ἡ τῶν καμνόντων ἐπίσκεψις καὶ ῥῶσις καὶ τῶν λυπουμένων παρήγορος ταχεῖα· καὶ νῦν Ὁσία παγγέραστε, μὴ παύσῃ πρεσβεύουσα Χριστῷ ἐκτενῶς, ὑπὲρ τῆς ποίμνης σου ταύτης, καὶ πάντων ἡμῶν τῶν τιμώντων σου, Θεοδώρα, τὴν κοίμησιν.

### Καὶ νῦν, ὁ αὐτός.
### Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,... ἤ
### Ἦχος, ὁ αὐτός. Ἰωάννου Μοναχοῦ (ἐκ τοῦ χειρογράφου).

Ἀπεστάλη ἐξ οὐρανοῦ, Γαβριὴλ ὁ Ἀρχάγγελος, εὐαγγελίσασθαι τῇ Παρθένῳ τὴν σύλληψιν· καὶ ἐλθὼν εἰς Ναζαρέτ, ἐλογίζετο ἐν ἑαυτῷ τὸ θαῦμα ἐκπληττόμενος· ὅτι, πῶς ὁ ἐν Ὑψίστοις ἀκατάληπτος, ὢν ἐκ Παρθένου τίκτεται! ὁ ἔχων θρόνον οὐρανὸν καὶ ὑποπόδιον τὴν γῆν, ἐν μήτρᾳ χωρεῖται γυναικός! ᾧ τὰ Ἑξαπτέρυγα καὶ πολυόμματα ἀτενίσαι οὐ δύνανται, λόγῳ μόνῳ, ἐκ ταύτης σαρκωθῆναι ηὐδόκησε. Θεοῦ ἐστι λόγος ὁ παρών. Τί οὖν ἵσταμαι, καὶ οὐ λέγω τῇ Κόρῃ; Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ Σοῦ· Χαῖρε ἁγνὴ Παρθένε· Χαῖρε Νύμφη ἀνύμφευτε· Χαῖρε Μῆτερ τῆς ζωῆς· εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου.

## Εἴσοδος. Τὸ φῶς ἱλαρόν.
## Προκείμενο τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
### (Γ' 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας, προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
### (Ε' 16 - ΣΤ' 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς και τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψονται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν

ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφθήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης. Ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε, μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῶν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
## (Δ' 7-15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστὶ φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Εἰς τὴν Λιτὴν τὰ Ἰδιόμελα·
## Ποίημα Σεραφεὶμ Μητροπολίτου Ἄρτης.

### Ἦχος β'.

Τὴν τῆς ψυχῆς σου εὐγένειαν, διατηρήσασα ἄμωμον, ὥσπερ φοῖνιξ ὑψώθης ἀειθαλής, καὶ ὤφθης τοῦ πνεύματος ἔσοπτρον, Θεοδώρα πανεύφημε. Νῦν δὲ πρὸς νυμφῶνας τοὺς οὐρανίους περιπολοῦσα καὶ ἀπολαύουσα ἀμοιβῶν τῆς ἐπὶ γῆς

ἀγαθῆς σου βιοτῆς, ῥῶσιν πρεσβείαις σου τοῖς κάμνουσι, δώρησαι καὶ στήριξον τὰς ψυχὰς τῶν τιμώντων σε.

### Ὁ αὐτός.

Στησώμεθα, ἀδελφοί, πνευματικὴν σήμερον χορείαν, καὶ χορεύσωμεν γεγηθότως, ἐπὶ τῇ ἐτησίῳ ἐνδόξῳ μνήμῃ, τῆς βασιλίδος Θεοδώρας ἀνυμνοῦντες αὐτῆς τοὺς ἀσκητικοὺς ἀγῶνας καὶ τὰ λοιπὰ εὐσεβῆ καὶ λαμπρὰ προτερήματα, δι᾽ ὧν ἀπήλαυσε τῆς χαρᾶς τῶν Ἀγγέλων. Ἀλλ᾽ ὦ σεπτὸν Ἀκαρνανίας, εὖχος, Θεοδώρα πανεύφημε, πρέσβευε δεόμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

### Δόξα, ἦχος δ΄.

Τῆς Ἄρτης τὸ σέμνωμα, τῶν βασιλισσῶν ἀγλάϊσμα, καὶ τῆς Ἀκαρνανίας πάσης τὸ μέγα σεμνολόγημα, Θεοδώρα ἀείμνηστε, σὲ ὑμνοῦντες κατὰ χρέος ἐνθέρμως σοῦ δεόμεθα συγγενοῦς οἰκειότητος μὴ ἐπιλαθομένη, ἵλεων εἴργασαι ἡμῖν, ταῖς λιταῖς σου τὸν Σωτῆρα, καὶ φύλαττε ἅπαντας, πανέντιμε, ἀχειρώτους, νόσων δεινῶν καὶ ἀλγηδόνων καὶ πάσης κακώσεως.

### Καὶ νῦν.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

### Ἕτερα Ἰδιόμελα εἰς τὴν Λιτὴν<br>Ἰωὰ μοναχοῦ (ἐκ τοῦ χειρογράφου).

### Ἦχος α΄.

Ποταμοὶ τῶν ἰαμάτων ἐκ τῆς τιμίας σου λάρνακος προχέουσιν ἑκάστοτε, δι᾽ ὧν τὰς τῶν νοσούντων μαλακίας Θεοδώ-

ρα θεραπεύεις, δυνάμει τοῦ Παναγίου Πνεύματος· ὅθεν αἰτούμεθα καὶ ἡμῖν χορηγηθῆναι διὰ σοῦ ὑγείαν τοῖς τιμῶσι σε.

**Ἦχος ὁ αὐτός.**

Τῆς γηραιᾶς τρυφῆς τὴν ἀπόλαυσιν ὑπεριδοῦσα καὶ βασιλείας δόξαν ὁμοῦ καὶ τὸν ὄλβον μισήσασα· βασιλείαν τὴν ἀθάνατον ἐπόθησας βασίλισσα πάνσοφε· ὅθεν καὶ τῶν ἀσθενούντων νόσους ἐκδιώκουσα, θεραπεύεις τοὺς πάντας τῇ τοῦ πνεύματος χάριτι, καὶ πρεσβεύεις ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος β΄.**

Ὡς ἀλάβαστρον μῦρον τὰ δάκρυα προσενήνοχας τῷ βασιλεῖ καὶ Θεῷ καὶ πράξεις θείας Θεοδώρα ἀείμνηστε· ἀντάμειψιν δὲ εἴληφας χάριν ἄφθονον βασιλὶς ἀξιάγαστε· ὅθεν καὶ δαιμόνων τὰς φάλαγγας ἀεὶ ἀποδιώκουσα τὰς νόσους παύεις τῶν αἰτούντων σε· δοξάζοντός σε Θεοῦ ἀπείροις θαύμασι· διὸ ἐν οὐρανίοις θαλάμοις νῦν κλῆρον ἔχουσα, τῷ Χριστῷ καθικέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἦχος δ΄.**

Ἰσχὺν τὴν ἀκλόνητον Χριστοῦ ἐνδυσαμένη ὡς ὅπλον κραταιὸν ἀγάπην, ἐγκράτειαν, ἐλπίδα, προσευχῇ θωρακισθεῖσα· τὴν τοῦ βίου κενὴν ἀπάτην ἐπάτησας ὁσία, καὶ δαιμόνων τὰς πανουργίας ἐνίκησας ἀνδρείως, τὴν θείῳ στέφει στεφθεῖσαν, χορεύεις ἐν Θεῷ ἐν παρρησίᾳ πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Δόξα. Ἦχος πλ. δ΄.**

Ἡ τῶν κατορθωμάτων σου θάλασσα πάντων καταρδεύεις σεμνὴ τῶν πιστῶν τὰς καρδίας· τίς γὰρ ἀκούων τῆς σῆς ψυχῆς τὴν πραότητα, τὸ καρτερὸν καὶ οὐχ ἐθαύμασε· τὸ πρὸς τοὺς πένητας εὐσυμπάθητον· τὴν ἀτυφίαν τὴν ὑπὲρ τῶν πά-

ντων παραμυθία, γέγονας Θεοδώρα φερώνυμε· καὶ νῦν τὸ θεοκόσμητον στέφος λαβοῦσα καὶ ἄφθαρτον, πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Καὶ νῦν. Ὁ αὐτός.

Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ· ὁ γὰρ τοῦ πατρὸς συναΐδιος καὶ συνάναρχος σύνθρονος οἶκτον λαβὼν καὶ φιλάνθρωπον ἔλεον, ἑαυτὸν καθῆκεν εἰς κένωσιν, κατ' εὐδοκίαν καὶ βούλησιν πατρικὴν καὶ μήτραν ᾤκησε παρθενικήν, προαγνισθεῖσαν τῷ πνεύματι· ὢ! τοῦ θαύματος ὁ Θεὸς ἐν ἀνθρώποις, ὁ ἀχώρητος ἐν μήτρᾳ, ὁ ἄχρονος ἐν χρόνῳ καὶ τὸ παράδοξον ὅτι καὶ ἡ σύλληψις ἄσπορος καὶ ἡ κένωσις ἄφραστος καὶ τὸ μυστήριον ὅσιον· ὁ Θεὸς γὰρ κενοῦται καὶ σαρκοῦται καὶ πλάττεται ἀγγέλου πρὸς τὴν ἁγνὴν τὴν σύλληψιν λέξαντος· χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

### Εἰς τὸν Στίχ. Προσόμοια.
### Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις βασιλικῆς ἐκ φυλῆς, μέσον κοιλάδων τῶν τοῦ βίου βλαστήσασα, ὡραία καθάπερ φοῖνιξ καὶ τοὺς καρποὺς ἐν καιρῷ τῷ Θεῷ καὶ κτίστῃ προσενέγκασα· ἀγάπην ἀθόλωτον, σωφροσύνην τὴν εὔκοσμον, δικαιοσύνην καὶ ἀνδρείαν ἀήττητον, ἡ κατάκοσμος ἀρεταῖς καὶ πολύκαρπος· πάντιμε, Θεοδόξαστε. Ὁσίων ἀγλάϊσμα, τῶν βασιλίδων τό κλέος, Ἀκαρνανίας τὸ καύχημα, σεμνὴ Θεοδώρα, ἡ τοῖς πᾶσιν αἰτουμένη χάριν καὶ ἔλεος.

**Στίχ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.***

Χαίροις περιστερὰ παγκαλής, ἡ πετασθεῖσα κοσμικῆς ἐκ συγχύσεως, καὶ θείοις χοροῖς Ὁσίων, ἐν ταπεινώσει ψυχῆς

καὶ σκηναῖς δικαίων καταπαύσασα· ἡ πνεύματος χάρισι, χρυσωθεῖσα τὰς πτέρυγας καὶ κοσμηθεῖσα ἀρεταῖς τὰ μετάφρενα καὶ οἰκήσασα καλιὰν πρὸς οὐράνιον, ἔνθα περιχορεύουσα καὶ δόξης μετέχουσα τῆς ἀνεκφράστου καὶ θείας, ἡμῶν μνημόνευε πάντοτε, ψυχῆς θυμηδία, τῶν τιμώντων σου τὴν μνήμην ἀξιοθαύμαστε.

**Στίχ. *Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας.***

Χαίροις τηλαυγεστάτη λαμπάς, ἡ πιανθεῖσα τῷ ἐλαίῳ τῆς Χάριτος· καὶ θείῳ πυρὶ πλουσίως, ἀναπτομένη σεμνή, καὶ θαυμάτων φέγγει καταυγάζουσα, πιστῶν τὴν διάνοιαν καὶ τὸν καύσωνα παύουσα, παθῶν καὶ νόσων καὶ τὴν ῥῶσιν ψεκάζουσα, καὶ τοῖς κάμνουσιν εὐρωστίαν παρέχουσα, πάνσεμνε, θεοπόθητε, πηγὴ τῶν ἰάσεων ὁ ποταμὸς τῶν χαρίτων, μοναζουσῶν ἐγκαλλώπισμα, ἡμῶν ἡ προστάτις τῶν τιμώντων Θεοδώρα, τὴν θείαν μνήμην σου.

**Δόξα, ἦχος πλ. β΄.**

Τῇ εὐκλεεῖ σου πανηγύρει, Θεοδώρα, χαίρει ὁ οὐρανός. Ἀγγέλων γὰρ στρατιαρχίαι σὺν ἡμῖν νῦν χορεύουσι, καὶ μυστικῶς περικυκλοῦσαι, συγκαλύπτουσι πτέρυξι τὴν ἁγίαν σου λάρνακα, ὅθεν τιμῶντες σου πιστῶς τῶν θαυμάτων τὴν πληθύν, χαρμοσύνως ἐκβοῶσι· χαῖρε ἡ τῶν οὐρανίων θαλάμων ἐναπολαύουσα καὶ Βασιλείας Χριστοῦ· διὸ καὶ ἡμεῖς πιστῶν σοι κράζομεν, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν, ὁ αὐτός.**

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατησχυμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ Παρθένε, Θεοτόκε, ἀλλ' αἰτεῖται τὴν χάριν καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

**Νῦν ἀπολύεις. Τὸ Τρισάγιον.**

### Ἀπολυτίκιον, ἦχος πλ. δ'.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν Σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκός, παρέρχεται γάρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὁσία Θεοδώρα, τὸ πνεῦμα σου.

### Ἕτερον Ἀπολυτίκιον, ἦχος α'.
### Ὑπὸ τοῦ Ἄρτης Σεραφείμ.

Τὴν ἀνάκτων ἀλουργίδα ὡς πανσόφως κατέλιπες, καὶ ἀσκητικοῖς πόνοις σεαυτὴν ἐνέδωκας, ἁγιασμοῦ γενομένη ἔμπλεως Πανεύφημε, οὕτως ἡμᾶς ἐκνικῆσαι καταξίωσον κόσμον καὶ σάρκα καὶ δεινὸν κοσμοκράτορα καὶ ζωὴν διανῦσαι φιλόθεον, ὦ ἐπώνυμε τοῦ Θεοῦ δωρεῶν, Θεοδώρα πανεύφημε, ταῖς Θείαις πρὸς τὸν κτίστην πρεσβείαις σου.

### Ἕτερον Ἀπολυτίκιον.
### Τοῦ αὐτοῦ.

Τῶν βασιλίδων τὸ κλέος, ἀσκητριῶν τε ἀγλάϊσμα, τῆς Ἀκαρνανίας τὸ εὖχος καὶ ἰαμάτων ῥεῖθρον ἀκένωτον· τῶν λυπουμένων καὶ πτωχῶν τὴν προστάτιν, τὴν ἀκτῖνος δίκην τὴν Αἰτωλίαν πᾶσαν καταφωτίζουσαν· ἐπώνυμον τὴν ὄντως δωρεῶν τῶν τοῦ Θεοῦ, τὴν πάνσεπτον καὶ ὁσίαν Θεοδώραν τὴν Βασίλισσαν, δεῦτε οἱ Ἀρταῖοι πάντες πιστῶς συνελθόντες ὕμνοις τιμήσωμεν· αὐτὴ γὰρ ἀενάως ὑπὲρ ἡμῶν οὐ παύει πρεσβεύουσα.

### Ἕτερον ὑπὸ τοῦ αὐτοῦ, ἦχος γ'.

Χαίρει ἔχουσα ἡ πόλις Ἄρτα τὸν σὸν πάνσεπτον ναόν, Ὁσία, ἰαμάτων ἰατρεῖον ὑπάρχοντα, τοῖς προσιοῦσιν αὐτῷ μετὰ πίστεως καὶ αἰτουμένοις τὴν θερμήν σου σκέπην καὶ ἀντί-

ληψιν· Ὦ βασίλισσα Θεοδώρα ἀξιάγαστε, Χριστὸν τὸν Θεὸν ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Ἕτερον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.**

Βασιλίδων σεμνότης καὶ ὁσίων ὁμόσκηνος, ὤφθης Θεοδώρα θεόφρον, ἀρετῶν τελειότητι, καὶ θείαις δοξασθεῖσα δωρεαῖς, τῆς Ἄρτης ἀνεδείχθης καλλονή· διὰ τοῦτο τῶν λειψάνων σου τὴν σορόν, προσπτύσσεται κραυγάζουσα. Δόξα τῷ σὲ δοξάσαντι λαμπρῶς, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρουμένῳ διὰ σοῦ, ἡμῖν θεῖα δωρήματα.

**Καὶ νῦν.**

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

**Ἀπόλυσις.**

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Τὰ Ἀπολυτίκια ὡς ἐν τῷ Ἑσπερινῷ.

Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τὸν φόβον τοῦ Θεοῦ ἐν γαστρὶ συλλαβοῦσα ὠδίνασάν σοι φῶς, προσευχὰς καὶ νηστείας καὶ πνεῦμα τὸ θεῖον, Θεοδώρα ἀπέτεκες· ὅθεν ἔδραμες ἐν τῷ φωτὶ τοῦ Κυρίου καὶ κατέπαυσας ἐν ταῖς σκηναῖς τῶν δικαίων ὡς τούτων ὁμότιμος.

Πάλιν τὸ αὐτό.
Δόξα. Καὶ νῦν. Ὅμοιος.

Ἡ δρόσον ἐπὶ σὲ ἀποστάξασα θείαν, τὴν σώζουσα ψυχαῖς δροσισμὸν τοῦ ἐλέους, τὴν κάμινον κατάσβεσον τῶν παθῶν μου καὶ δρόσισον, τῷ ἐλέει σου τὴν εὐτακεῖσαν ψυχήν μου, δὸς καὶ δάκρυον καθαρτικὸν Θεοτόκε, καὶ σῶσον με δέομαι.

Κατὰ τὸν Πολυέλεον, ἡ Ἐκλογή.
(Ἐκ τοῦ χειρογράφου)

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος.

Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν, ὕμνον τῷ Θεῷ ἡμῶν.

Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον ἁγιάσματος δόξης σου.

Ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.

Ἄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με.

Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.

Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.

Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσῃς με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.

Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.

Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

**Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Τὸ τοῦ νυμφίου σου κάλλος ποθήσασα, τὴν ὡραιότητα σαρκὸς ἐμίσησας, καὶ ἀντὶ δόξης καὶ τρυφῆς ἐκτήσω τὴν ταπείνωσιν, ἥτις σὲ ἀνύψωσε πρὸς οὐράνιον ἄντυγα, ἔνθα καὶ τετύχηκας καθαρῶς τῆς ἐφέσεως, καὶ κάλλους εὐπρεπείας, καὶ δόξης ἀδιαδόχου, Θεοδώρα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν.**

Η τῶν πταισμάτων μου πληθὺς ἀμέτρητος, ἀλλὰ τὸ πέλαγος τῆς εὐσπλαχνίας σου πᾶσαν διάνοιαν, καὶ νοῦν καλύπτει θεονύμφευτε. Ὅθεν σου τὸ ἔλεος, νικησάτω τὰ πταίσματα· ἔκτεινόν μοι Δέσποινα, δεξιὰν τῷ ἱκέτῃ σου ἐπίστρεψον πρός με, Κόρη, μόνη ἐλπὶς ἀπηλπισμένων.

**Οἱ ἀναβαθμοί, τὸ Α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου. Προκείμενον.**

**Ἦχος δ΄.**

***Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.***

*Στίχ.* ***Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας.***

## ΕΥΑΓΓΕΛΙΟΝ
**Ἐκ τοῦ κατὰ Λουκᾶν.**
**(Κεφ. στ΄ 17 - 21)**

Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ Βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

**Ὁ Ν΄. Δόξα. Ταῖς τῆς σῆς Ὁσίας. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.**

**Ἰδιόμελον. Ἦχος πλ. δ΄.**

Σήμερον κροτοῦσιν οὐρανῶν τὰ τάγματα ἐπὶ τῇ μνήμῃ σου καὶ πάντες ᾄδουσιν οἱ πιστοί, πανένδοξε, τὴν πληθὺν τῶν θαυμασίων σου, ἣν ἐπλούτησας ἀξίως ἐν Θεῷ τῷ ἐν ὑψίστοις.

**Εἶτα ὁ Κανὼν τῆς Ἁγίας. Οὗ ἡ ἀκροστιχίς.**
***Δέχου τὸ[ν] ὕμνον ἐκ ψυχῆς θεῖον δόμα.***
**(ἄνευ τῶν θεοτοκίων)**

**Ὠδὴ α΄, ἦχος δ΄. Ἄτριπτον, ἀσυνήθη.**

Δύναμις τοῦ Ὑψίστου, παράσχου μοι τὴν δύναμιν οὐρανόθεν, λόγου παρέχουσα ἄφθονον πηγήν, τὴν σεπτὴν Βασίλισσαν ἐγκωμιάζοντι.

Ἔφυγες τὰ τοῦ βίου ἐμφρόνως, Θεοδώρα, τερπνὰ ὡς ὄναρ, ὡς ἐκλεκτὴ δὲ νύμφη καὶ καλή, οὐρανῶν βασιλείαν οἰκεῖς βασίλισσα.

Χάριν σοι, Θεοδώρα, καὶ ἔλεος πηγάζει ὀστῶν ἡ θήκη. Οἱ προσιόντες ἅπαντες πιστοὶ νοσημάτων ἴασιν ἀπολαμβάνομεν.

Ὅλον σου, Θεοδώρα, ψυχῆς ἰδὼν τὸ κάλλος ὁ σὸς νυμφίος, ἐν κροσσωτοῖς ἐκλάμπων ἀρετῶν, εἰς οὐράνιον παστάδα νύμφην προσήκατο.

**Θεοτοκίον.**

Στάμνος σε πάλαι κόρη, ἐτύπου δεξαμένη τὸ θεῖον μάννα τὸν γὰρ Θεὸν βαστάσασα γαστρί, τοῖς ἀνθρώποις τέτοκας, τίς μὴ θαυμάσεται.

## Ἕτερος κανών, οὗ ἡ ἀκροστιχίς.

***Τὴν Βασίλισσαν αἰνέσω Θεοδώραν. Ἰωὰ Μο[ναχὸς ὁ Μέλης.]****

### Ὠδὴ α΄, ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Τὴν χάριν ὑμνοῦντι σου, τῶν θαυμασίων ἀείμνηστε, θεόθεν μοι βράβευσον χάριν τὴν ἄφθονον καὶ καταύγασον, εὐχαῖς σου, Θεοδώρα, νοός μου τὴν ζόφωσιν λόγον παρέχουσα.

Ἡ θεία τοῦ Πνεύματος χάρις ἐν σοὶ κατοικήσασα, ναόν σε εἰργάσατο θεῖον, βασίλισσα καὶ κατεύθυνε ψυχῆς σου τὰς κινήσεις, τὰ θεῖα θελήματα, πράττειν τοῦ κτίσαντος.

Νοός σου ταῖς αὔλαξι σπόρον τὸν θεῖον εἰσδέδεξαι, καὶ τοῦτον ἐπηύξησας ὄμβροις δακρύων σου, ὃν συγκλείσασα ταῖς θείαις ἀποθήκαις μισθὸν τὸν οὐράνιον εὗρες βασίλισσα.

### Θεοτοκίον.

Βασίλισσα πέφυκας τῶν οὐρανίων δυνάμεων· τὸν Κτίστην γὰρ τέτοκας τοῦτον καὶ Κύριον, ὃν ἱκέτευε, δουλείας με, τοῦ πλάνου ῥυσθῆναι, Πανάμωμε, τὸν ἀνυμνοῦντά σε.

### Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

Ὑφάνασα χιτῶνα τοῦ σωτηρίου, ἀμέμπτῳ πολιτείᾳ ἐξυφασμένον προσῆλθες, ὥσπερ νύμφη Θεῷ τῶν ὅλων, Ὁσίων τάγμασι σῶμα δουλώσασα, τῆς ψυχῆς τῷ κρείττονι ἀξιώματι.

Τὴν ἄνω Βασιλείαν ἐπιποθοῦσα, τὴν κάτω φθειρομένην σοφῶς παρεῖδες δραμοῦσα δὲ πρὸς σύστημα Ναζηραίων,

* Ἡ συμπλήρωσις τῆς ἀκροστιχίδας τοῦ β΄ κανόνα τῆς Ὁσίας ἀνήκει στὸν Σ. Πετρίδη.

σεμνὴ Βασίλισσα, σπείρεις ἐν δάκρυσι καὶ τρυγᾷς αἰώνιον ἀγαλλίασιν.

Οἰκτείρας ὁ Δεσπότης βροτῶν τὴν φύσιν, βροτοῖς συνανεστράφη δι' εὐσπλαγχνίαν, οὗ τὰς ἀγαθοεργίας μιμησαμένη, σεμνὴ Βασίλισσα, νόσῳ τοὺς κάμνοντας θεραπεύεις ἅπαντας, ἐπιστασίᾳ σου.

### Θεοτοκίον.

Τὸν ἄχρονον ἐν χρόνῳ σὺ ἀπειράνδρως ἐν κόσμῳ μόνη τέτοκας ὦ Παρθένε, τῆς φύσεως τῶν νόμων ἐκνικηθέντων· Θεὸν γὰρ ἔτεκες σάρκα γενόμενον, ποιητὴν τῆς κτίσεως δι' ἀγαθότητα.

### Εἱρμὸς ἄλλος. Τοὺς σοὺς ὑμνολόγους.

Ἀξίας φθαρτῆς ὑπεριδοῦσα, καὶ πλούτου καὶ δόξης γεηρᾶς ἐν ταπεινώσει πνεύματος, τῷ Βασιλεῖ καὶ κτίστῃ σου προσέδραμες, Βασίλισσα, καὶ δόξαν εὗρες τὴν ἄφθαρτον.

Στολῆς εὐανθοῦς καὶ βασιλείου ἠλλάξω στολὴν μελεμβαφῆ, μοναστριῶν συστήματος σ' αὐτὴν ἐμφρόνως μίξασα· ὅθεν θαλάμων ἔτυχες τῶν οὐρανίων Βασίλισσα.

Ἰσχὺν τὴν ἀνίκητον λαβοῦσα, Σταυροῦ, Θεοδώρα, κατ' ἐχθρῶν τῶν νοητῶν ἐχώρισας καὶ τούτους διολέσασα, νηστείαις καὶ δεήσεσι νίκης τὸν στέφανον εἴληφας.

### Θεοτοκίον.

Λιμένα, καὶ τεῖχος σε, καὶ σκέπην, Παρθένε κεκτήμεθα πιστοί· διὸ σοι καὶ προσπίπτοντες δουλοπρεπῶς βοῶμεν σοι· χαῖρε κατάρας λύτρωσις καὶ εὐλογίας ἡ ἀντίδοσις.

### Κάθισμα. Ἦχος δ΄.
### Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς ἐπικήρου καὶ φθαρτῆς βασιλείας τὸ στασιῶδες καὶ βαρὺ καταλείψασα, τὸν ἐλαφρὸν ἠγάπησας Κυρίου ζυγόν, ὅνπερ ἐπωμάδιον, Θεοδώρα, λαβοῦσα, ὅλον σου κατέτηξας τὸ σαρκίον τοῖς πόνοις· διὸ τῆς ἄνω δόξης ἐντρυφᾶς, βασιλικῶς παρεστῶσα τῷ κτίστῃ σου.

### Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ἐν ἀνομίαις συλληφθεὶς ὅλως, οἴμοι! κἂν ἁμαρτίαις γεννηθεὶς ὁ πανάθλιος ὅλον τὸν βίον ἔζησα αἰσχρῶς ἐν κακοῖς· ὅθεν τὸ κριτήριον ἐνθυμούμενος φρίττω. Τίνα γὰρ ὑφέξομαι δικαιοῦντά με λόγον; Ἀλλά, Παρθένε Μήτηρ τοῦ Θεοῦ, σύ με πρὸ τέλους, ὡς οἶδας, διόρθωσον.

### Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Ὑπόδικον σεαυτὴν τῷ Θεῷ παραστήσασα, ἐν δάκρυσιν ἔτρεχες ὀδυνηροῖς σου τὸ πρόσωπον, θείαν ἀγαλλίασιν ἐξ οὐρανοῦ δεχομένη παναοίδιμε.

Μακάριος ὁ λαὸς ὁ γινώσκων προστάτιν σε Θεοδώρα πάνσεμνε, ἡ τῶν νοσούντων ἐπίσκεψις· τούτοις γὰρ εἰς ἴασιν ἐκ τῶν πηγῶν σωτηρίου νέμεις φάρμακα.

Νεώσασα τὴν ψυχὴν ἐπὶ πόνοις ἀσκήσεως, ὡς ὄμβροις, τοῖς δάκρυσι τοῖς ἀενάοις κατήρδευσας, στάχυν τε, Βασίλισσα τῶν ἰαμάτων, βλαστάνεις τὰ χαρίσματα.

Οὐ χρήματα, οὔτε δόξης ἀπάτην ἠγάπησας· οὐ δόξαν βασίλειον, οὐ τὴν τοῦ βίου τερπνότητα, Θεοδώρα πάνσεμνε, ἀλλὰ τὴν μένουσαν δόξαν ἐπόθησας.

## Θεοτοκίον.

Υμνοῦσι σε οὐρανῶν αἱ δυνάμεις πανύμνητε· τὸν κτίστην γὰρ τέτοκας, ὑπὲρ αἰτίαν γενόμενον ἄνθρωπον ἐν μήτρα σου, ἵνα θεώση δι᾽ οἶκτον τὸ ἀνθρώπινον.

## Εἱρμὸς ἄλλος. Ὁ καθήμενος ἐν δόξη.

Ιατρεῖον τοῖς νοσοῦσιν, ἡ σορὸς τῶν λειψάνων σου ἀνεδείχθη πᾶσι, ρῶσιν, Θεοδώρα, παρέχουσα· ὅθεν μετέχοντες πάντες τῶν χαρίτων σου μεγαλύνομεν τὸν ἐπὶ γῆς σὲ δοξάσαντα.

Σκληροτάταις τὸ σαρκίον ἀγωγαῖς κατατήξασα, δάκρυσι καὶ πόνοις ἔζησας ζητοῦσα τὸν Κύριον, ὃν δὲ ἐπόθεις εὑροῦσα, χάριν ἔλαβες, τῶν θαυμάτων προχέειν τὴν βρύσιν τοῖς χρήζουσι.

Σὺν τηρήσει θείων νόμων σὺ ἐν γῇ πεπολίτευσαι, σωφροσύνης στήλη καὶ δικαιοσύνης εἰκόνισμα, τῆς ἐγκρατείας κανών τε ἀκριβέστατος μοναστρίαις ὀφθεῖσα, σεμνὴ θεοδόξαστε.

## Θεοτοκίον.

Ανεκφράστως συλλαβοῦσα, ἀπορρήτως γεγέννηκας τοῦ Πατρὸς τὸν Λόγον, τέλειον ὀφθέντα Θεάνθρωπον ὃν ἐν δυσὶν ταῖς οὐσίαις, ἕνα Κύριον δογματίζοντες, σὲ Θεοτόκον κηρύττομεν.

## Ὠδὴ ε΄. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

Νεανικῶς πρὸς παράταξιν ὤφθης τῶν ἐναντίων, δάκρυσι τὸ θεῖον ἱλεουμένη· ὅθεν λαμβάνεις παρ᾽ αὐτοῦ τὰς ἰάσεις, καὶ διανέμεις πᾶσι τοῖς χρήζουσι, χάριτι θαυμάτων, βασίλισσα πάνσεμνε.

Ἐκφαντικαῖς πρὸς Θεὸν θεωρίαις, πάντων γηΐνων, φεύγεις ἡδυπάθειαν, Θεοδώρα, ἐν ταπεινώσει πρὸς αὐτὸν ἐκβοῶσα, σὺ Θεός μου, σὺ κραταίωμα, σὺ μου κατ' ἐχθρῶν ἀρραγὲς ἀμυντήριον.

Καταβληθεὶς δυναστείᾳ τοῦ πλάνου, ἐθανατώθην, κεῖμαι δὲ πρὸς βάραθρον ἀπωλείας· ἀνάστησόν με πεπτωκότα εἰς στάσιν, Θεοδώρας σεπταῖς δεήσεσιν· ἥνπερ ἐν σημείοις ἐδόξασας Κύριε.

**Θεοτοκίον.**

Χαῖρε σεμνή, ὁ ἀρχάγγελος ἔφη, ἀρᾶς τοῖς πάλαι λύσασα τὴν λύπην κυοφορίᾳ· χαῖρε θανάτου τὴν πικρὰν τυραννίδα καθελοῦσα, ζωῆς τὸν αἴτιον, σάρκα δι' ἡμᾶς γεγονότα γεννήσασα.

**Εἱρμὸς ἄλλος. Ἐξέστη τὰ σύμπαντα.**

Νοός σου καθαρότητι, ψυχῆς σου τὴν εὐγένειαν, ἄμωμον τηροῦσα, Θεοδώρα ἔσοπτρον θεῖον ὤφθης τοῦ πνεύματος, πᾶσι ταῖς αὐγαῖς φωτοβολαῖς τῶν κατορθωμάτων σου πρὸς σὴν μίμησιν ἕλκουσα.

Ἀνύστακτον φέρουσα τὴν ψυχικὴν λαμπάδα σου, ὅλον σου τὸν βίον θεαρέστως ἤνυσας, ὄντως θεομακάριστε, πάντων ἀλογήσασα τερπνῶν εἶχες γὰρ τὸ ἔλαιον ἐν ἀγγείῳ τοῦ πνεύματος.

Ἱστίῳ τοῦ πνεύματος, τὴν κοσμικὴν διέπλευσας θάλασσαν ἀβρόχως, Θεοδώρα, δόξης ματαίας μὴ ποντισθεῖσα βυθῷ, μᾶλλον πρὸς λιμένα δὲ ζωῆς, ἄληστον ὁρμήσασα τὸν οὐράνιον, πάνσεμνε.

**Θεοτοκίον.**

Νοεῖν οὐ δεδύνηνται τὴν ἄφραστον λοχείαν σου, τάξεις τῶν ἀγγέλων, Θεοτόκε, μόνη γὰρ ὤφθης ἅγιον σκήνωμα, ᾧ περ ἐνοικήσας ὁ Θεός, σάρκα ἀνελάβετο καὶ θεοῖ με δι' ἔλεον.

## Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ψαλμικῶς, ὥσπερ φοῖνιξ, ἐξήνθησας ἄνθος ἀρετῶν τῷ οἴκῳ Κυρίου σου, τῶν σῶν θαυμάτων φαίνουσα τὸν καρπόν, Θεοδώρα, τοῖς κάμνουσι.

Υπερήθρης δυσὶν ὥσπερ πτέρυξι, ταῖς τῶν ἀγαθῶν θεωρίαις καὶ πράξεσι, καὶ πρὸς νυμφῶνας ἔδραμες οὐρανῶν βασιλείας Βασίλισσα.

Χαρισμάτων ἐπλήσθης τοῦ Πνεύματος, θείαις ἐργασίαις τὸν βίον κοσμήσασα, ἐν αἷς χαρίτων πέλαγος, τοῖς πιστοῖς, Θεοδώρα, γεγένησαι.

### Θεοτοκίον.

Υψωθεὶς λογισμῷ τῆς θεώσεως πάλαι ὁ πρωτόπλαστος, εὗρε τὸν θάνατον· ἐκ σοῦ Θεὸς δέ, Πάναγνε, τὸν βροτὸν ἐνδυθεὶς με ἐθέωσεν.

### Εἱρμὸς ἄλλος.
### Ἐβόησε προτυπῶν.

Ἐν ὕδασι φυτευθεῖσα, τοῖς λόγοις τοῦ Πνεύματος, Θεοδώρα, ὥσπερ φοῖνιξ ὑψώθης κατάκοσμος ἀρετῶν τοὺς πόνους, ὡς καρποὺς τῷ Θεῷ προσενέγκασα.

Σταλάζει σου γλυκασμόν, Θεοδώρα, τὰ λείψανα, τὴν πικρίαν ψυχικὴν τῶν νοσούντων διώκοντα, καὶ πιστοὺς εὐφραίνει, ἀνυμνοῦντας τὸν σὲ μεγαλύνοντα.

Ὡς εὔσταχυ τῆς ψυχῆς σου τὸν λήϊον πέφυκε τῶν θαυμάτων τὴν πληθύν, Θεοδώρα τοῖς χρῄζουσιν, ὥσπερ σῖτον νέμον, καὶ στηρίζον ψυχὰς τῶν τιμώντων σε.

## Θεοτοκίον.

Θεότητος ἐν γαστρί σου τὸ πῦρ ἀπειρόγαμε συλλαβοῦσα, θαυμαστῶς οὐκ ἐφλέχθης, ἀλλ᾽ ἔμεινας, ὥσπερ ἧς πρὸ τόκου, ἀδιάφθορος ὅλη, καὶ ἄφλεκτος.

## Κοντάκιον, ἦχος πλ. δ΄.
## Τῇ ὑπερμάχῳ.

Τὴν ὑπὲρ φύσιν ἀληθῶς ἐν γῇ βιώσασαν, τὴν οὐρανόφρονα, πιστοί, σεμνὴν Βασίλισσαν εὐφημήσωμεν ἐν ὕμνοις εὐσεβοφρόνως· ὡς γὰρ ἔχουσα τὸνβίον ἀπαράμιλλον καὶ θαυμάτων τὴν ἐνέργειαν ἀπείληφεν. Ὅθεν κράζομεν· Χαῖρε, δόσις θεόσδοτος.

## Ὁ Οἶκος.

Ἄγγελος ἐξ ἀνθρώπων ἀνεφάνης, Ὁσία, ζηλώσασα τὸν βίον Ἀγγέλων· διὸ σὺν προθυμίᾳ ψυχῆς προσερχόμενοί σου τῇ σορῷ Πάνσεμνε, τιμῶμέν σε κράζοντες καὶ ᾄδοντες ἐν λόγοις ταῦτα.

Χαῖρε, ἀκτὶς σκοτουμένων βίῳ.
Χαῖρε, ῥανὶς καυσουμένων νόσῳ.
Χαῖρε μετανοίας τὸν τύπον ἐγγράφουσα·
Χαῖρε ἁμαρτίας τὸν ῥύπον ἐκπλύνουσα.
Χαῖρε βρύσις ἀνεξάντλητε, ἰαμάτων χορηγέ.
Χαῖρε κλύσις περιλάλητε, μοναζόντων φωτισμέ.
Χαῖρε ὅτι λιμένα σωτηρίας ἐμφαίνεις·
Χαῖρε ὅτι χειμῶνα τῶν παθῶν ἀναστέλλεις.
Χαῖρε πηγὴ δακρύων ἀείρροε.
Χαῖρε δοτὴρ θαυμάτων ἀκάματε·
Χαῖρε Χριστὸν ἐκζητοῦσα πίστει·
Χαῖρε χρυσοῦν μυσαχθεῖσα τὴν φύσιν·
Χαῖρε δόσις θεόσδοτε.

Τὸ Συναξάριον τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου. Εἶτα τὸ παρόν.

## Τῷ αὐτῷ μηνὶ Μαρτίῳ ια´ μνήμη τῆς ὁσίας Μητρὸς ἡμῶν Θεοδώρας τῆς Βασιλίσσης Ἄρτης.

*Κἂν σου, Βασιλίς, κρύπτει τὸ σῶμα τάφος,*
*Χριστὸς πᾶσι φαίνει σε, θαυματουργίαις.*
*Ἑνδεκάτῃ κρύψε Θεοδώραν λάας κλεεινήν.*

Ἡ ἀοίδιμος αὕτη καὶ μακαρία βασιλὶς Θεοδώρα, τὸ μὲν γένος εἷλκεν ἐξ ἡλίου ἀνατολῶν· γεννήτορες δὲ αὐτῆς Ἰωάννης καὶ Ἑλένη. Τὰ δὲ κατ' αὐτῆς ἔσχεν οὕτως· Ἀλεξίου τοῦ ἐκ φυλῆς τῶν Κομνηνῶν κατηγμένου Ρωμαίων βασιλεύοντος, Μιχαὴλ μὲν ὁ Κομνηνὸς ὁ καὶ πρὸς γένους αὐτῷ τε τῷ βασιλεῖ καὶ τοῖς ἀγγελωνύμοις βασιλεῦσι διαφέρων, τὴν ἀρχὴν τῆς Πελοποννήσου πιστεύεται· Σεναχηρεὶμ δὲ πρὸς Αἰτωλίαν καὶ Νικόπολιν ἀποστέλλεται· δυσὶ πρότερον οὗτοι πρωτεξαδέλφαις συζευχθέντες, ταῖς καθ' αἷμα γνησίαις τῷ βασιλεῖ. Ἰωάννης δὲ ὁ τῆς μακαρίας Θεοδώρας πατήρ, ᾧ Πετραλίφης τὸ ἐπώνυμον, γένους ὢν περιφανοῦς καὶ λαμπροῦ, γυναικὶ μὲν καὶ αὐτὸς παρὰ βασιλέως συζεύγνυται, τῶν ἐν Κωνσταντινουπόλει τὰ πρῶτα φερόντων ἐκ γένους οὔσῃ· σεβαστοκράτωρ δὲ Ρωμαίων τιμηθείς, τῆς Μακεδονίας καὶ Θεσσαλίας κατάρχειν ἀποκαθίσταται. Ἀλλὰ τῇ τοῦ Θεοῦ παραχωρήσει Λατίνων φεῦ! τῆς Κωνσταντίνου κρατησάντων, ἠχμαλώτευται μὲν παρ' ἐκείνων σὺν ἄλλοις πολλοῖς καὶ ὁ βασιλεὺς Ἀλέξιος. Ἐκτυφλοῦται δὲ Λάσκαρις ὁ παῖς ἐν τῇ Ἀνατολῇ, παρὰ Μιχαὴλ τοῦ Παλαιολόγου, τοῦ τὴν βασιλείαν τότε δραξαμένου· καὶ λοιπὸν ἐπλήσθη τὰ πάντα ταραχῆς καὶ συγχύσεως. Σεναχηρεὶμ οὖν καὶ αὐτὸς ἐπιβουλευθεὶς παρὰ τῶν Νικοπολιτῶν, τὸν Κομνηνὸν Μιχαὴλ εἰς βοήθειαν προσεκαλέσατο· μήπω δ' ἐκείνου φθάσαντος, δολοφονεῖται Σεναχηρείμ. Μιχαὴλ μέντοι παραγενόμενος, τοὺς φονεῖς κτείνει πάντας, λαμβάνει δὲ τὴν ἐκείνου γυναῖκα Μελισσηνήν· ἔφθασε καὶ γὰρ τὴν ἰδίαν γυναῖκα νόμῳ θανάτου ἀποβαλέσθαι· καὶ λοιπὸν πᾶσαν τὴν περιουσίαν Σεναχηρεὶμ

σὺν τῇ ἀρχῇ ἑαυτῷ περιποιεῖται. Ὃς δὴ Κομνηνὸς ἐκ τῆς Κωνσταντινουπόλεως τοῦ στόλου τῶν Λατίνων κατερχομένου καὶ τῷ τῆς Σαλαγορᾶς λιμένι οὑτωσὶ ἐπικληθέντι προσορμίσαντος, τὸν βασιλέα Ἀλέξιον μὴ γνωριζόμενον, ὡς ἀνδράποδον παρ' ἐκείνων εἰς χάριν ἔλαβε καὶ ἀπέλυσε, πολλαῖς πρότερον αὐτοὺς δεξιωσάμενος δωρεαῖς· ἐξ οὗ βασιλέως εἰς κλῆρον ἐδόθη αὐτῷ τε τῷ Μιχαὴλ καὶ τοῖς ἐξ αὐτοῦ ἡ λαχοῦσα τότε τῆς ἡγεμονίας ἀρχή. Γεννῶνται τοίνυν αὐτῷ ἐκ τῆς Μελισσηνῆς υἱοὶ τέσσαρες, Μιχαὴλ ὁ Δούκας, Θεόδωρος, Μανουὴλ καὶ Κωνσταντῖνος. Μιχαὴλ δὲ ὁ τῶν υἱῶν πρῶτος μετὰ τὴν τοῦ πατρὸς τελευτὴν πᾶσαν τὴν ἐκείνου ἀρχὴν διεζώσατο· ἀνὴρ δραστήριος καὶ ὀξὺς νοῆσαι καὶ πραγμάτων ἐμπειρότατος οἰκονόμος. Ὃς δὴ Βελλάγραδά τε καὶ Ἰωάννινα καὶ τὴν Βόδιτζαν ἐκτήσατο· τὴν νῆσον τῶν Κορυφῶν καὶ Δυῤῥάχιον καὶ Ἀχρίδα καὶ πᾶσαν τὴν Βλαχίαν καὶ τὴν Ἑλλάδα περιεποιήσατο καὶ εἰς πολὺ πλάτος ἐπέτεινε τὴν ἀρχήν. Ἀλλὰ ταχέως καὶ οὗτος ἔργον ῥομφαίας γενόμενος ἐξ ἀνθρώπων ἐγένετο, τὸν ἴδιον αὐτάδελφον Θεόδωρον τὸν Δούκαν διάδοχον ἑαυτοῦ καταλιπών. Ὃς δὴ Θεόδωρος βρεφύλλιον τὸν ἐκ τοῦ ἰδίου ἀδελφοῦ Μιχαὴλ τὸν Δούκαν εὑρηκώς, παρεῖδε μὲν τοῦτον ὡς ἀτελῆ, τὴν ἀρχὴν δὲ πᾶσαν δραξάμενος καὶ ἐπὶ εὐτυχίᾳ πραγμάτων ἀρθείς, δόλον κατὰ τοῦ παιδὸς ἐμελέτησεν, ὅνπερ ἡ μήτηρ αἰσθομένη προέλαβε, διαπεράσασα μετὰ τοῦ νηπίου ἐν τῇ νήσῳ τοῦ Πέλοπος.

Θεόδωρος δὲ δοκιμώτατος ἐν μάχαις φανεὶς καὶ τὴν Θεσσαλονίκην ἐλευθερώσας τῆς λατινικῆς τυραννίδος, βασιλεὺς ἀνηγόρευται καὶ πάντων τῶν δυτικῶν ἕως αὐτῆς ἐκράτησε Χριστουπόλεως. Ὁ μέντοι σεβαστοκράτωρ Πετραλίφης, υἱοὺς γεννήσας ἐν Θεσσαλίᾳ καὶ τὴν ἀείμνηστον ἀπέτεκε Θεοδώραν καὶ τὸν βίον ἐν Χριστῷ καταλύσας, τὴν ἰδίαν ἀρχὴν τοῖς υἱέσι κατέλιπεν, οἳ καὶ τῷ βασιλεῖ Θεοδώρῳ δεξιῶς τελοῦντες, τὴν ἰδίαν ἀδελφὴν νηπιάζουσαν, ὡς κόρην ἐφύλαττον ὀφθαλμοῦ. Τί τὸ μετὰ ταῦτα; Τῇ Ζαγορᾷ Θεόδωρος ἐπιστρατεύσας ὁ βασιλεύς, πόλεμον ἐποίει κατὰ Ἀσὰν τοῦ Βασιλέως Βουλγάρων

καὶ νικηθεὶς παρ' ἐκείνου χειροῦται καὶ τοὺς ὀφθαλμοὺς στερεῖται. Μιχαὴλ δὲ εἰς νεανίας ἤδη τελῶν, τῆς ἐξορίας ἀνακαλεῖται καὶ τὴν πατρικὴν πᾶσαν παραλαβὼν ἀρχήν, τῇ Βλαχίᾳ ἐπιδημεῖ καὶ περὶ τὸ κάστρον Σερβίον γενόμενος τὴν καλὴν βλέπει νεάνιδα Θεοδώραν, ἧς ἄκρως ἁλούς, τοῖς ἀδελφοῖς συμφωνεῖ Πετραλίφαις καὶ ταύτην νομίμῳ γάμῳ λαβών, εἰς Ἀκαρνανίαν ἀτείχιστον τότε οὖσαν σὺν αὐτῇ λαμπρῶς ἐπανέζευξεν. Ἀλλ' ὁ μὲν τῆς ἰδίας ἦν φροντίζων ἀρχῆς, Θεοδώρα δὲ οὐ παρεσύρη τῇ δόξῃ, οὐχ ἑάλω τῇ νεότητι οὔτε μὴν πρὸς τρυφὰς οἶδε κατασπαταλᾶν, ἀλλ' οὐδὲ τῷ τῆς ἀρχῆς ὄγκῳ ἐπήρθη· τῷ Θεῷ δὲ μᾶλλον ἔγνω προσκεῖσθαι καὶ ἀρετῆς ἐπιμελεῖσθαι, σωφρόνως ζῆσαι, ταπεινοφροσύνην ἀσπαζομένη, ἀοργησίαν, ἀγάπην, πραότητα, συμπάθειάν τε καὶ ἐλεημοσύνην, ὡς ἄλλος οὐδεὶς κατορθοῦσα καὶ τὸν Θεὸν ὁλοψύχως διὰ παντὸς θεραπεύουσα. Οὐκ ἔφερε δὲ πάντως ὁρᾶν ταῦτα ὁ τῶν δικαίων ἐχθρός, οὐδὲ τὴν καλὴν ταύτην τῆς νεάνιδος ὁδὸν βλέπειν ἠνέσχετο· ἀλλ' ὅλος ὁπλίζεται κατ' αὐτῆς καὶ θυλημανίαις τὸν ἄνδρα καταμαλάξας, πειρασμὸν τῇ μακαρίᾳ ἐγείρει τῶν πώποτε μνημονευσομένων δεινότατον. Γυναικὶ γάρ τινι ἐξ εὐγενῶν, Γαγγρηνῇ τὸ ἐπώνυμον, πορνικῶς ὁ Μιχαὴλ ἐπιμανεὶς καὶ τὸ τῆς αἰσθήσεως ὑγιὲς μαγίαις ὑπ' ἐκείνης ὑποκλαπείς, μῖσος ἄσπονδον κατὰ τῆς ἰδίας ἐκτήσατο γυναικός. Καὶ ταύτην ἀπωσάμενος, τὴν μαινάδα φρενοβλαβῶς συνηγάγετο, τοῖς ὑπηκόοις ὅρον θέμενος μὴ προσκεῖσθαι τῇ Θεοδώρᾳ, μὴ θεραπείας ἀξιοῦν ταύτην τινὸς μήτε μὴν ἐπὶ γλώσσης αὐτῆς φέρειν τὸ ὄνομα.

Τούτοις γενναία τοῖς δεινοῖς ἐμπεσοῦσα, οὐκ ἐσαλεύθη ὅλως τὸν λογισμόν, οὐδὲ παρετράπη τῆς ἀγαθῆς πολιτείας· ἀλλ' ὅλη ὡς ἀδάμας ἦν καρτεροῦσα καὶ τὸν Θεὸν ὁμοίως θεραπεύουσα· ξενιτευομένη δὲ κρύει καὶ καύσωνι, αἴθριος ταλαιπωροῦσα, λιμῷ τε καὶ δίψῃ καὶ τῇ λοιπῇ κακουχίᾳ πιεζομένη καὶ ὑπὸ στέγην εἰσελθεῖν ἐπιθυμοῦσα. Ἐπὶ πέντε οὖν ἔτεσι τοῖς ἀπείροις δεινοῖς προσπαλαίσασα, οὐδὲν ἐφθέγξατο ἀγενὲς οὔτε μὴν κατωλιγώρησε ῥῆμα τι πρὸς Κύριον εἰπεῖν, ἀλλ' ἔτι μᾶλλον πρὸς ἀρετὴν ἀπετείνετο καὶ πρὸς αὐτὸν ὑψοῦτο καθ'

ἑκάστην, ἑαυτὴν δι᾿ ὑπομονῆς ἀνάγουσα, φέρουσα καὶ βρέφος ἐν ταῖς χερσὶν ὅπερ ἐκβληθεῖσα εἶχεν ἐγγάστριον. Ἱερεύς δέ τις ἐκ χωρίου Πρενίστης, λαχανευομένην ἐν ἀγρῷ ταύτην εὑρὼν καὶ τὸ βρέφος βαστάζουσαν, ὅρκοις ἐπύθετο τὸ ἑαυτῆς εἰπεῖν ὄνομα· καὶ γνοὺς ἥτις ἦν, ταύτην οἴκαδε φέρων κατέκρυψε, πάσης ἐπιμελείας ἀξιώσας. Τῶν οὖν μεγιστάνων καὶ τὰ πρῶτα παρὰ Μιχαὴλ τῷ Δούκα φερόντων αἴφνης ἁρπασάντων τὴν κακόσχολον ἐκείνην γυναῖκα καὶ ἀπαιωρησάντων, ἡ πονηρὰ πᾶσα εἰς φῶς ἤχθη πρᾶξις· καὶ ἐν τῷ νῷ γενόμενος ἐνεσείσθη ὁ Μιχαὴλ, τὴν μακαρίαν αὖθις ἠγάγετο· καὶ λοιπὸν ἐπλήσθη χαρᾶς τὰ πάντα καὶ ἀγαλλιάσεως.

Διῆγον οὖν ἄμφω τὸν βίον ἐν εἰρήνῃ καὶ ἀγάπῃ τῇ κατὰ Θεόν, τῆς ἑαυτῶν ἐπιμελούμενοι σωτηρίας, ἀξιώματι Δεσποτῶν τιμηθέντες καὶ παῖδας τεκόντες καὶ πρὸς ὕψος μεγίστης εὐκλείας ὑπεραρθέντες καὶ τὴν πρὸς ἀρετὴν ἁμιλλώμενοι καλὴν ἀμφότεροι ἅμιλλαν. Τὸν μέντοι Δεσπότην καὶ σύνευνον ἡ ἀοίδιμος Θεοδώρα, τὰς περικαλεῖς καὶ εὐαγεῖς ἰδοῦσα συστησάμενον δύο μονάς, τὴν τῆς Παντανάσσης, φημί, καὶ τῆς Παναγίας ἐπικεκλημένης, τῷ μεγαλομάρτυρι καὶ αὐτὴ Γεωργίῳ θεῖον ἀνήγειρε σεμνεῖον καὶ εἰς γυναικεῖον τοῦτο συνεστήσατο. Τοῦ συνεύνου δὲ καὶ Δεσπότου Μιχαὴλ καλῶς καὶ θεοφιλῶς βιώσαντος καὶ πρὸς μονὰς μεταστάντος τὰς οὐρανίους, τὸ τῶν μοναχῶν καὶ αὐτὴ εὐθὺς περιβάλλεται σχῆμα· καὶ χρόνοις ἐπιβιοῦσα, τὸν ναὸν μὲν παντοίως κατεκόσμει καὶ ἀναθήμασι καὶ σκεύεσι καὶ πέπλοις κατεκάλλυνε.

Προσετίθει δὲ καὶ τῷ βίῳ τοῖς πόνοις ἑαυτὴν ἐγγυμνάζουσα καὶ τὸν ἀρετῶν καρπὸν ἐπαύξουσα, ἀγρυπνίαις καὶ στάσεσι παννύχοις σχολάζουσα, ψαλμοῖς καὶ ὕμνοις προσομιλοῦσα, τὸ σῶμα νηστείαις κατατήκουσα καὶ πάσαις ταῖς ἀδελφαῖς ἀῤῥαθύμως δουλεύουσα, ἀδικουμένων προϊσταμένη, ὀρφανῶν καὶ χηρῶν ἀντιλαμβανομένη, πτωχοῖς ἐπικουροῦσα, θλιβομένους παραμυθουμένη, καὶ πᾶσι γενομένη τὰ πάντα ἐν ταπεινώσει καρδίας. Ἐπεὶ δὲ καὶ τὴν αὐτῆς προέγνω τελευτήν, δάκρυσιν ἠτήσατο τῇ πανάγνῳ Θεομήτορι καὶ τῷ πανενδόξῳ μάρτυ-

ρι Γεωργίῳ ἑξαμηνιαῖον αὐτῇ πρὸς Θεὸν διαπρεσβεύσασθαι χρόνον πρὸς τὴν τοῦ ναοῦ τελείαν ἀπάρτισιν, ὃ καὶ γέγονε. Καὶ τοῦ καιροῦ φθάσαντος, τὰς ἀδελφὰς προσεκαλέσατο καὶ περὶ ὧν ἔδει καλῶς ἐντειλαμένη καὶ ταύταις ἐπαυξαμένη σωτηρίαν, χαίρουσα τὸ πνεῦμα εἰς χεῖρας Θεοῦ παρέθετο· καὶ κατετέθη ἐν αὐτῇ τῇ παρ' αὐτῆς ἀνεγερθείσῃ μονῇ.

Τοῦ Θεοῦ δὲ ταύτην δοξάσαντος ὕστερον, πολλῶν καὶ μεγίστων θαυμάτων ὤφθη αὐτουργός, ἀσθενείας καὶ νόσους τῶν προστρεχόντων αὐτῇ ἰατρεύουσα καὶ δαίμονας ἐξ ἀνθρώπων ἐλαύνουσα, καὶ ποικίλα πάθη ἀνίατα καθεκάστην θεραπεύουσα. Ἐθεράπευσε δὲ καὶ καρκίνου πάθος καὶ ἕτερα φρικτὰ πεποίηκε καὶ εἰς ἔτι φαίνεται ποιοῦσα, ὧν οὐκ ἔστιν ἀριθμός· οὐ μόνον γὰρ τοῖς ἐν τῷ σεπτῷ αὐτῆς τάφῳ προσπίπτουσιν, ἀλλὰ καὶ τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν καὶ ἐν θαλάσσῃ καὶ ἐν νήσοις φθάνει ἐπικληθεῖσα καὶ τοῖς πέρασι θερμῶς βοηθοῦσα. Ἧς ταῖς πρὸς τὸν Θεὸν ἁγίαις εὐχαῖς ἀξιωθείημεν καὶ ἡμεῖς σωτηρίας τυχεῖν. Ἀμήν.

**P.G. 127, 904-908**

## Ὠδὴ ζ'.
## Εἰκόνος χρυσῆς.

Ἡλίου αὐγὰς ἐμιμεῖται, ὦ σεμνή, θαυμάτων χάρις, τῶν νοσημάτων πᾶσαν κάκωσιν ἐκ τῶν ἀνθρώπων ἐκπλύνουσα, πᾶσαν καχεξίαν τε νόσων, ὥσπερ σκότος, ἐλαύνουσα, ταῖς φωτοβόλοις πρὸς Θεὸν εὐχαῖς σου πάντοτε.

Στησώμεθα νῦν, οἱ πιστοί, πνευματικὴν χορείαν ἅπαντες· καὶ Θεοδώρας ἀνυμνήσωμεν τὰ εὐσεβῆ προτερήματα· τοὺς ἀσκητικοὺς αὐτῆς πόνους, τὴν νηστείαν, τὰ δάκρυα· δι' ὧν τῆς ἄνωθεν ζωῆς ἔσχεν ἀπόλαυσιν.

Θυσία δεκτὴ προσενήνεξαι Θεῷ καὶ ὁλοκαύτωσιν, διὰ νηστείας καὶ δεήσεως προκαθαρθεῖσα τῷ σώματι· ὅθεν σὲ

οὐρανίῳ τραπέζῃ, ὡς βασιλίδα παραδέχεται, ὁ Βασιλεὺς καὶ ποιητὴς καὶ πάντων Κύριος.

Εἰς νοῦν σου, σεμνὴν ὀφειλὴν τὴν ἀπαραίτητον ἔχουσα, μνήμην ἀκατάπαυστον ἔστενες πάντα τὸν βίον σου, δάκρυσι Θεὸν ἱλεοῦσα, καὶ μετανοίαις προσπίπτουσα, τῷ ποιητῇ τοῦ οὐρανοῦ καὶ γῆς, Βασίλισσα.

**Θεοτοκίον.**

Ὁ μέγας Μωϋσῆς προδιετύπου σε, σεμνή, πυρὶ καὶ βάτῳ, τὸ πῦρ γὰρ καῦσιν ἀπεβάλλετο, μέσον, τηροῦν, βάτον ἄφλεκτον οὐδὲ σέ, πῦρ τὸ θεῖον καταφλέγει τὴν μήτραν σου κατασκηνῶσαν, εἰς βροτῶν ξένην ἀνάπλασιν.

**Εἱρμὸς ἄλλος.**
**Οὐκ ἐλάτρευσαν.**

Ἐπιχρώσασα πορφύραν, ὡς πολύτιμον ῥάκος, ἐν δάκρυσι, νηστείαις τε καὶ εὐχαῖς ταύτην κατεστόλισας· καὶ νῦν παρίστασαι, ὡς Βασίλισσα, τῷ Βασιλεῖ καὶ Κτίστῃ σου, Θεοδώρα, τρισολβία.

Οὐχ ὑψώθης τὴν καρδίαν, οὐ μετέωρον ἔσχες τὸ ὄμμα σου, ἐν βασιλείᾳ κενῇ μᾶλλον δὲ ἀνυψώσας ψυχῆς τὴν φύσιν τῆς σῆς, πρὸς τὸν Κύριον· καὶ βασιλεύεις ἔνδοξε, σὺν αὐτῷ εἰς τοὺς αἰῶνας.

Λειμαμένη Γεωργίῳ θείῳ μάρτυρι, σεμνεῖον τίμιον, τούτῳ ἐνετέθης, σεμνή, ὡς ὄλβιος πολύτιμος ὕπνον ὑπνώσασα τὸν φυσίζωον, τὸν τοῖς δικαίοις πρέποντα, Θεοδώρα θαυμασία.

**Θεοτοκίον.**

Ὡριμώτατον ἐδρέψατο ἡ βρότειος καρπὸν τῷ τόκῳ σου φύσις, Παρθένε ἁγνή, ἐξ οὗ οἱ μετέχοντες ζωὴν εὑρίσκομεν·

ὅθεν ἅπαντες χρεωστικῶς ὑμνοῦμεν σου τὴν σεπτὴν κυοφορίαν.

## Ὠδὴ η΄.
## Τὸν ἐν καμίνῳ τοῦ πυρὸς συγκαταβάντα.

Ἵλεων εἴργασαι ἡμῖν τὸν Δεσπότην δυσωποῦσα, Θεοδώρα, δυσχερῶν τῶν τοῦ βίου ἐξαιρουμένη ἡμᾶς, καὶ νόσων, καὶ πάσης κακώσεως πάντας ἀχειρώτους φυλάττουσα, λιταῖς σου.

Ὄλβιος τῶν ὀστῶν, ἡ πηγάζουσα πιστοῖς τῶν ἰαμάτων τὰ ἀκένωτα ῥεῖθρα, πάντα δυσώδη παθῶν ταχέως ῥύπον ἀποπλύνουσα, τῶν μετ᾽ εὐσεβείας ἐν ταύτῃ προσιόντων.

Νόμῳ θανάτου, σιωπᾷς, ἀφανείᾳ τῇ σορῷ σου κεκρυμμένη· ἀλλὰ πάντων ἐν γλώσσαις τὰ μεγαλεῖα Θεοῦ ἀνυμνούντων τὸ τῶν ἰάσεων πέλαγος τούτου ἀπαντλοῦμεν, βασίλισσα θεόφρων.

## Θεοτοκίον.

Στάμνα τοῦ μάννα μυστική, ἀπειρόγαμε ἁγνὴ εὐλογημένη, ἡ Θεὸν ὥσπερ μάννα, σχοῦσα ἐν γαστρί σου σεμνή, πικρίας παθῶν με ἐξάγαγε, γλυκασμὸν μοι δοῦσα τὴν ἄνω βασιλείαν.

## Εἱρμὸς ἄλλος.
## Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ῥῶσιν τῶν ψυχῶν καὶ τῶν σωμάτων ἀντλήσατε προσιόντες οἱ πιστοί, πρόκειται γὰρ βρύουσα θαύματα, ὡς νάματα θεῖα, σορός, τοῖς χρήζουσι τῆς βασιλίδος ἡμῶν, τὰ πνεύματα καὶ πάθη σοβοῦσα καὶ τὰς ὀλεθρίους ἐξιωμένη νόσους.

Ἄδει σου πιστῶς Ἀκαρνανία ἡ πόλις, σοῦ Θεοδώρα τὰ τεράστια, πᾶσαί τε συντρέχουσαι πόλεις ἐν τῇ θήκῃ σου, χάρι-

τος σῆς μετέχουσαι, καὶ ἀνυμνοῦσαι Χριστὸν τὸν δείξαντα ἡμῖν σὲ προστάτιν καὶ τῶν αἰτουμένων βοήθειαν ἑτοίμην.

Νομίμῳ βιοῦσα συζυγίᾳ καὶ παίδων ἐναλλομένη τοῖς βλαστήμασι, βλάβην οὐχ ὑπέμεινας τὴν ἐκ ματαιότητος· ἀλλ' ἀντὶ τούτων ἔκρινας μόνον κερδῆσαι Χριστόν· διὸ καὶ τῆς ἐφέσεως ἔστης, χαίρουσα ἐν τούτῳ ὁσία εἰς αἰῶνας.

### Θεοτοκίον.

Ἵνα τὰ ἐπίγεια τοῖς ἄνω συνάψῃ, ὁ πάντων Κτίστης μόνος καὶ Κύριος, σάρκα προσελάβετο, Κόρη ἐξ αἱμάτων σου, ὤφθη ὡς ἄνθρωπος, ὁ βροτουργὸς δι' ἔλεον, πάντας θεέτων βροτούς· διό σου τὸ μυστήριον, φόβῳ ἀνυμνολογοῦμεν ἁγνὴ εἰς τοὺς αἰῶνας.

### Ὠδὴ θ'.
### Ἀπορεῖ πᾶσα γλῶσσα.

Δυναμωθεῖσα ἄνωθεν ἐξ ὕψους τὴν χάριν τῶν ἰαμάτων ἔλαβες, ἴασθαι ἀνθρώπων ἀσθενείας, πλείστοις στεναγμοῖς καὶ δάκρυσι, ἀρυσαμένη τὴν ἐκ Θεοῦ προέχουσαν βρύσιν νοητήν, ἥνπερ νῦν Θεοδώρα παρέχοις πᾶσι τοῖς κάμνουσι.

Ὁ θησαυρός σου θεῖος ἐν τῇ γῇ κεκρυμμένος, τῶν ἰαμάτων ἅπασι τοῖς προστρέχουσι τὸν πλοῦτον θετίζει, οὕτω γὰρ Θεὸς ἐδόξασεν ἀντιδοξάζειν ὁ κατ' ἀξίαν πάντας δοξάζοντας εἰδώς· ὅς σε καὶ βασιλείας τῆς ἄνω μέτοχον ἔδειξε.
Μεταναστεύεις πάσης ὑλικῆς προσπαθείας καὶ εἰς τὸ ὄρος τῶν ὑπερκοσμίων ἐπιφθάνεις, Θεοδώρα, βέλη νοητὰ ἐκφεύγεις δὲ τῶν τεκταινόντων τῇ θείᾳ ψυχῇ. Ὅθεν καὶ οὐρανῶν ἡ παστάς σὲ νύμφη προσήκατο.

Ἀπάσης ῥῦσαι καταδυναστείας τοῦ πλάνου, τοὺς σὲ τιμῶντας λόγους, ἐτησίως τε ὑμνοῦντας σου τὴν μνήμην, νέμουσα

πταισμάτων ἄφεσιν καὶ νόσων λύσιν ταῖς πρὸς Θεόν σου θείαις ἐντεύξεσι, σεμνή· ἔχεις γὰρ πρὸς αὐτὸν παρρησίαν τελεῖν παράδοξα.

### Θεοτοκίον.

Μετὰ τόκον ἄφθορος, ἁγνὴ διαμένεις, κόσμου γὰρ γεννᾶς ἄσπιλε, ἀπείρανδρε Παρθένε, τὸν ἐργάτην, ῥῶσιν ἀσθενοῦσι νέμοντα, ἰώμενόν τε, ὅσους ὁ ὄφις πάλαι τοῦ φθόνου θανατοῖ καὶ πρὸς οὐρανὸν ἐπανάγοντα δι᾽ ἀγαθότητα.

### Εἱρμὸς ἄλλος. Ἅπας γηγενής.

Ὤφθης ὡς φωστήρ, τῇ πόλει σου λάμπουσα θαυμάτων χάρισι καὶ καταφαιδρύνουσα πιστῶν καρδίας θείοις πυρσεύμασι, βασιλισσῶν ἀγλάϊσμα, ὁσίων σύσκηνε, Θεοδώρα· ὅθεν θείῳ πνεύματι, συνελθόντες, τιμῶμεν τὴν μνήμην σου.

Βάθρον καὶ κρηπὶς καὶ στήριγμα πέφυκας, σεμνή, τῆς ποίμνης σου· ὅθεν καὶ κυκλοῦσα σου πιστῶς τὴν θήκην τῶν μοναστριῶν ἡ πληθύς, ἣν ἐν Χριστῷ ὡδήγησας, ἀνευφημεῖ σε, καὶ κρατεῖ τὰς χεῖρας, ἐν τῇ μνήμῃ σου, Θεοδώρα, Χριστὸν μεγαλύνουσα.

Μῦρον νοητὸν οὐράνιον ἔσχηκας, ἐν τῇ καρδίᾳ σου νοῦν καὶ τὴν καρδίαν ἀεὶ μυρίζον σου παναοίδιμε· χαίρουσα τοίνυν πνεύματι, βίον ἐβίωσας, ὃν βιοῦσι πάντες οἱ ποθήσαντες σὺν Ἀγγέλοις τὰ οὐράνια.

### Θεοτοκίον.

Ὄρος νοητόν, Μαρία Θεόνυμφε, ἐδείχθης χάριτι· λίθος ἀκρόγωνος, ἐξ οὗ ἐτμήθη Χριστὸς ὁ Κύριος, ἡμᾶς συνάψας, Ἄχραντε, τοὺς διεστῶτας τὸ παρὸν· προσκυνοῦντες τὸν ἅγιον Τόκον σου.

### Ἐξαποστειλάριον.
### Γυναῖκες ἀκουτίσθητε.

Ἐν δάκρυσιν ἐξήτησας τὸν νοερὸν νυμφίον σου καὶ τοῦτον εὗρες, Ὁσία, παράκλησιν νέμοντά σοι, τῶν ἀσθενούντων ἴασιν, πάντων κακῶν τὴν λύτρωσιν, πᾶσι πιστοῖς τοῦ διδόναι, πρεσβείαις σου Θεοδώρα.

### Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος δοχεῖον γεγενημένη, ἐν ᾧ πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε καὶ τὸ Παναγιον Πνεῦμα ἀνέδειξε Θεοτόκον.

### Εἰς τοὺς Αἴνους Στιχηρὰ προσόμοια, ἦχος α΄.
### Τῶν Οὐρανίων Ταγμάτων.

Ἐπιποθήσασα μόνα τὰ ἐλπίζοντα, πᾶσαν τοῦ νῦν αἰῶνος κατεφρόνησας δόξαν καὶ πλοῦτον καὶ ἀξίαν βασιλικήν, Ναζηραίων δὲ σχήματι κατακοσμήσασα σῶμα τῶν ἀρετῶν, Θεοδώρα στήλη γέγονας.

Κόσμον τερπνὸν ἀντηλλάξω τὰ διαμένοντα καὶ παριδοῦσα βίου τὴν πολύπλοκον πλάνην, δακρύων σου θαλάσσῃ πρὸς οὐρανῶν τοὺς λιμένας διέπλευσας, ἔνθα χορὸς τῶν δικαίων καὶ ἀσκητῶν, Θεοδώρα καταπαύσασα.

Λελαμπρυσμένη παρέστη σοι ἡ βασίλισσα, τῶν ἀρετῶν ἰδέαις καὶ ἀσκήσεως πόνους φοροῦσα πορφυρίδα βασιλικήν, Βασιλείαν ἀσάλευτον τὴν παρὰ σοῦ δεχομένη, Λόγε Θεοῦ, καὶ ζωὴν τὴν αἰωνίζουσαν.

### Δόξα. Ἦχος πλ. α΄.

Ὡς ἀλάβαστρον μύρου, τὰ δάκρυα προσενήνοχας τῷ Βασιλεῖ καὶ Θεῷ καὶ πράξεις θείας, Θεοδώρα ἀείμνηστε· εἰς

ἀμοιβὴν δὲ εἴληφας χάριν ἄφθονον, Βασιλὶς ἀξιάγαστε, ὅθεν καὶ δαιμόνων τὰς φάλαγγας ἀεὶ ἀποδιώκουσα, τὰς νόσους παύεις τῶν αἰτούντων σε, δοξάζοντός σε Θεοῦ ἀπείροις θαύμασι· διὸ ἐν οὐρανίοις θαλάμοις, νῦν κλῆρον ἔχουσα, τῷ Χριστῷ καθικέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Καὶ νῦν. Ἦχος β΄.

Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον· Χαῖρε ἀνύμφευτε Κόρη καὶ ἀπειρόγαμε· μὴ καταπλαγῇς τῇ ξένῃ μου μορφῇ· μηδὲ δειλιάσῃς, Ἀρχάγγελός εἰμι· ὄφις ἐξηπάτησεν Εὔαν ποτέ· νῦν εὐαγγελίζομαί σοι τὴν χαράν καὶ μενεῖς ἄφθορος καὶ τέξῃ τὸν Κύριον, Ἄχραντε.

**Ἰστέον ὅτι εἰ τύχοι ἡ μνήμη τῆς Ἁγίας Θεοδώρα ἐν Σαββάτῳ ἢ Κυριακῇ ψάλλεται Δοξολογία καὶ ἐν τῇ θείᾳ Λειτουργίᾳ ἐκ τοῦ Κανόνος ᾠδὴ γ΄ καὶ η΄, ἐν δὲ τῇ θείᾳ Λειτουργίᾳ τῶν Προηγιασμένων οὐδέτερον τούτων.**



# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

## ΑΠΟΣΤΟΛΟΣ

**Προκείμενον, ἦχος βαρύς.**
**Καυχήσονται ὅσιοι ἐν δόξῃ.**
**Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.**

**Πρός Ἐφεσίους Ἐπιστολῆς Παύλου τό ἀνάγνωσμα.**
**(ε΄ 8-19)**

Ἀδελφοί, ὡς τέκνα φωτός περιπατεῖτε· - ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ· - δοκιμάζοντες τί ἔστιν εὐάρεστον τῷ Κυρίῳ. Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν αἰσχρὸν ἐστι καὶ λέγει· τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστι. Διὸ λέγει· Ἔγειραι ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διά τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλά συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου. Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλά πληροῦσθε ἐν Πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

## ΕΥΑΓΓΕΛΙΟΝ.

**Ἐκ τοῦ κατὰ Ματθαῖον.**
**(κε΄1-13)**

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα Παρθένοις, αἵ τινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ Νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ αἱ πέντε μωραί· αἵ τινες μωραί, λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον. Αἱ δὲ

φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετά τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δέ τοῦ Νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδού, ὁ Νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ Παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ Νυμφίος· καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ Παρθένοι, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθείς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

## Μεγαλυνάρια

Χαίροις, Ἀμβρακίας ἡ καλλονή, χαίροις, μακαρία, μοναζόντων ὁ φωτισμός, χαίροις, βασιλίδων ἀγλάϊσμα τὸ μέγα, ὁσία Θεοδώρα, ὢ θεῖον δώρημα.

## Ἕτερον

Χαίροις βασιλίδων ἡ καλλονή, σκεῦος δωρημάτων, φερωνύμως τῶν θεϊκῶν· χαίροις ἡ τῆς Ἄρτης, προστάτις καὶ μεσίτις, ὁσία Θεοδώρα, πρὸς τὸν φιλάνθρωπον.

## Ἕτερον, ψαλλόμενον ἐν Σερβίοις.

Βασίλισσαν ἅπαντες τὴν σεπτὴν καὶ ὁσίων ἅμα τὴν περίσεμνον καλλονήν, τὸ μυρίπνουν ἄνθος καὶ κρίνον τῶν Σερβίων, τὴν θείαν Θεοδώραν ὕμνοις τιμήσωμεν.